# Classical Greek
# Standard level
# Paper 2

Wednesday 13 May 2015 (morning)

1 hour 30 minutes

---

**Instructions to candidates**

- Do not open this examination paper until instructed to do so.
- Answer three questions from two genres only. Each question is worth **[15 marks]**.
- The maximum mark for this examination paper is **[45 marks]**.

2215 – 2954



© International Baccalaureate Organization 2015

https://xtremepape.rs/

Answer **three** questions from **two** genres **only**. These questions should be taken from the **two** genres you have studied.

**Genre: epic**

**Question 1. Homer, *Odyssey* 9.216–236**

καρπαλίμως δ᾽ εἰς ἄντρον ἀφικόμεθ᾽, οὐδέ μιν ἔνδον
εὕρομεν, ἀλλ᾽ ἐνόμευε νομὸν κάτα πίονα μῆλα.
ἐλθόντες δ᾽ εἰς ἄντρον ἐθηεύμεσθα ἕκαστα.
ταρσοὶ μὲν τυρῶν βρῖθον, στείνοντο δὲ σηκοὶ
ἀρνῶν ἠδ᾽ ἐρίφων· διακεκριμέναι δὲ ἕκασται
ἔρχατο, χωρὶς μὲν πρόγονοι, χωρὶς δὲ μέτασσαι,
χωρὶς δ᾽ αὖθ᾽ ἕρσαι. ναῖον δ᾽ ὀρῷ ἄγγεα πάντα,
γαυλοί τε σκαφίδες τε, τετυγμένα, τοῖς ἐνάμελγεν.
ἔνθ᾽ ἐμὲ μὲν πρώτισθ᾽ ἕταροι λίσσοντ᾽ ἐπέεσσιν
τυρῶν αἰνυμένους ἰέναι πάλιν, αὐτὰρ ἔπειτα
καρπαλίμως ἐπὶ νῆα θοὴν ἐρίφους τε καὶ ἄρνας
σηκῶν ἐξελάσαντας ἐπιπλεῖν ἁλμυρὸν ὕδωρ·
ἀλλ᾽ ἐγὼ οὐ πιθόμην, ἦ τ᾽ ἂν πολὺ κέρδιον ἦεν,
ὄφρ᾽ αὐτόν τε ἴδοιμι, καὶ εἴ μοι ξείνια δοίη.
οὐδ᾽ ἄρ᾽ ἔμελλ᾽ ἑτάροισι φανεὶς ἐρατεινὸς ἔσεσθαι.
ἔνθα δὲ πῦρ κήαντες ἐθύσαμεν ἠδὲ καὶ αὐτοὶ
τυρῶν αἰνύμενοι φάγομεν, μένομέν τέ μιν ἔνδον
ἥμενοι, ἧος ἐπῆλθε νέμων. φέρε δ᾽ ὄβριμον ἄχθος
ὕλης ἀζαλέης, ἵνα οἱ ποτιδόρπιον εἴη,
ἔντοσθεν δ᾽ ἄντροιο βαλὼν ὀρυμαγδὸν ἔθηκεν·
ἡμεῖς δὲ δείσαντες ἀπεσσύμεθ᾽ ἐς μυχὸν ἄντρου.

(a) καρπαλίμως … ἐνάμελγεν (lines 216–223). Outline the way the Cyclops is presented by Homer through what Odysseus and his companions see in the cave. Support your answer by quoting **four** details from the Greek text. [4]

(b) Write out and scan ἔνθ᾽ … ἔπειτα (lines 224–225). Indicate elisions where necessary. [2]

(c) What **two** expressions give the audience a premonition of the bad turn Odysseus's adventure with the Cyclops will take? Support your answer by quoting the Greek text. [2]

(d) ἔνθ᾽ … δοίη (lines 224–229). Contrast the behaviour of Odysseus and of his companions. Give **four** details to show how they react to the situation. [4]

(e) Explain, giving **three** details, the dramatic effect of the arrival of the Cyclops (lines 233–236). Quotation of the Greek text is **not** required. [3]

https://xtremepape.rs/

**Genre: epic**

**Question 2. Homer, *Odyssey* 9.440–460**

ἄναξ δ᾽ ὀδύνῃσι κακῇσι
τειρόμενος πάντων ὀίων ἐπεμαίετο νῶτα
ὀρθῶν ἑσταότων· τὸ δὲ νήπιος οὐκ ἐνόησεν,
ὥς οἱ ὑπ᾽ εἰροπόκων ὀίων στέρνοισι δέδεντο.
ὕστατος ἀρνειὸς μήλων ἔστειχε θύραζε
λάχνῳ στεινόμενος καὶ ἐμοὶ πυκινὰ φρονέοντι.
τὸν δ᾽ ἐπιμασσάμενος προσέφη κρατερὸς Πολύφημος·
"κριὲ πέπον, τί μοι ὧδε διὰ σπέος ἔσσυο μήλων
ὕστατος; οὔ τι πάρος γε λελειμμένος ἔρχεαι οἰῶν,
ἀλλὰ πολὺ πρῶτος νέμεαι τέρεν᾽ ἄνθεα ποίης
μακρὰ βιβάς, πρῶτος δὲ ῥοὰς ποταμῶν ἀφικάνεις,
πρῶτος δὲ σταθμόνδε λιλαίεαι ἀπονέεσθαι
ἑσπέριος· νῦν αὖτε πανύστατος. ἦ σύ γ᾽ ἄνακτος
ὀφθαλμὸν ποθέεις, τὸν ἀνὴρ κακὸς ἐξαλάωσε
σὺν λυγροῖς ἑτάροισι δαμασσάμενος φρένας οἴνῳ,
Οὖτις, ὃν οὔ πώ φημι πεφυγμένον εἶναι ὄλεθρον.
εἰ δὴ ὁμοφρονέοις ποτιφωνήεις τε γένοιο
εἰπεῖν ὅππῃ κεῖνος ἐμὸν μένος ἠλασκάζει·
τῷ κέ οἱ ἐγκέφαλός γε διὰ σπέος ἄλλυδις ἄλλῃ
θεινομένου ῥαίοιτο πρὸς οὔδεϊ, κὰδ δέ κ᾽ ἐμὸν κῆρ
λωφήσειε κακῶν, τά μοι οὐτιδανὸς πόρεν Οὖτις."

(a) Translate ἄναξ … δέδεντο (lines 440–443). [3]

(b) ἄναξ … Πολύφημος (line 440–446). Give **three** words or expressions, in Greek with English translation, that describe the Cyclops. [3]

(c) Write out and scan κριὲ … οἰῶν (lines 447–448). Indicate elisions where necessary. [2]

(d) Briefly comment on the tone of Polyphemus's words to the ram (lines 447–454). Support your answer by quoting **three** details from the Greek text. [4]

(e) ἦ … ἠλασκάζει (lines 452–457). What does Polyphemus wish his ram could do, and what would the ram need in order to do that? Quotation of the Greek text is **not** required. [3]



https://xtremepape.rs/

**Genre: historiography**

**Question 3. Herodotus, 7.54–55**

ταύτην μὲν τὴν ἡμέρην παρεσκευάζοντο ἐς τὴν διάβασιν· τῇ δὲ ὑστεραίῃ ἀνέμενον τὸν ἥλιον ἐθέλοντες ἰδέσθαι ἀνίσχοντα, θυμιήματά τε παντοῖα ἐπὶ τῶν γεφυρέων καταγίζοντες καὶ μυρσίνῃσι στορνύντες τὴν ὁδόν. ὡς δ᾽ ἐπανέτελλε ὁ ἥλιος, σπένδων ἐκ χρυσέης φιάλης Ξέρξης ἐς τὴν θάλασσαν εὔχετο πρὸς τὸν ἥλιον μηδεμίαν οἱ συντυχίην τοιαύτην γενέσθαι, ἥ μιν παύσει καταστρέψασθαι τὴν Εὐρώπην πρότερον ἢ ἐπὶ τέρμασι τοῖσι ἐκείνης γένηται. εὐξάμενος δὲ ἐσέβαλε τὴν φιάλην ἐς τὸν Ἑλλήσποντον καὶ χρύσεον κρητῆρα καὶ Περσικὸν ξίφος, τὸν ἀκινάκην καλέουσι. ταῦτα οὐκ ἔχω ἀτρεκέως διακρῖναι οὔτε εἰ τῷ ἡλίῳ ἀνατιθεὶς κατῆκε ἐς τὸ πέλαγος, οὔτε εἰ μετεμέλησέ οἱ τὸν Ἑλλήσποντον μαστιγώσαντι καὶ ἀντὶ τούτων τὴν θάλασσαν ἐδωρέετο. ὡς δὲ ταῦτά οἱ ἐπεποίητο, διέβαινον κατὰ μὲν τὴν ἑτέρην τῶν γεφυρέων τὴν πρὸς τοῦ Πόντου ὁ πεζός τε καὶ ἡ ἵππος ἅπασα, κατὰ δὲ τὴν πρὸς τὸ Αἰγαῖον τὰ ὑποζύγια καὶ ἡ θεραπηίη. ἡγέοντο δὲ πρῶτα μὲν οἱ μύριοι Πέρσαι, ἐστεφανωμένοι πάντες, μετὰ δὲ τούτους ὁ σύμμικτος στρατὸς παντοίων ἐθνέων.

(a) ταύτην … ὁδόν (lines 1–3). Describe the **two** rituals performed to propitiate the crossing before sunrise. Support your answer by quoting the Greek text. [2]

(b) ὡς … γένηται (lines 3–5). Outline Xerxes's demands in his prayer to the sun. Quotation of the Greek text is **not** required. [3]

(c) ταῦτα οὐκ ἔχω ἀτρεκέως διακρῖναι (line 7). Explain Herodotus's reticence [reserve] on this point, giving **four** details relevant to his historical method. [4]

(d) Translate ὡς δὲ ταῦτά … ἅπασα (lines 9–10). [3]

(e) παντοίων ἐθνέων (line 12). Name **three** of the nations, apart from the Persians, that were part of Xerxes's infantry. [3]

https://xtremepape.rs/

**Genre: historiography**

**Question 4. Herodotus, 7.56–57**

Ξέρξης δὲ ἐπεὶ διέβη ἐς τὴν Εὐρώπην, ἐθηεῖτο τὸν στρατὸν ὑπὸ μαστίγων διαβαίνοντα· διέβη δὲ ὁ στρατὸς αὐτοῦ ἐν ἑπτὰ ἡμέρῃσι καὶ ἐν ἑπτὰ εὐφρόνῃσι, ἐλινύσας οὐδένα χρόνον. ἐνθαῦτα λέγεται, Ξέρξεω ἤδη διαβεβηκότος τὸν Ἑλλήσποντον, ἄνδρα εἰπεῖν Ἑλλησπόντιον "ὦ Ζεῦ, τί δὴ ἀνδρὶ εἰδόμενος Πέρσῃ καὶ οὔνομα ἀντὶ Διὸς Ξέρξην θέμενος ἀνάστατον τὴν Ἑλλάδα θέλεις ποιῆσαι, ἄγων πάντας ἀνθρώπους; καὶ γὰρ ἄνευ τούτων ἐξῆν τοι ποιέειν ταῦτα." ὡς δὲ διέβησαν πάντες, ἐς ὁδὸν ὁρμημένοισι τέρας σφι ἐφάνη μέγα, τὸ Ξέρξης ἐν οὐδενὶ λόγῳ ἐποιήσατο καίπερ εὐσύμβλητον ἐόν· ἵππος γὰρ ἔτεκε λαγόν. εὐσύμβλητον ὦν τῇδε τοῦτο ἐγένετο, ὅτι ἔμελλε μὲν ἐλᾶν στρατιὴν ἐπὶ τὴν Ἑλλάδα Ξέρξης ἀγαυρότατα καὶ μεγαλοπρεπέστατα, ὀπίσω δὲ περὶ ἑωυτοῦ τρέχων ἥξειν ἐς τὸν αὐτὸν χῶρον. ἐγένετο δὲ καὶ ἕτερον αὐτῷ τέρας ἐόντι ἐν Σάρδισι· ἡμίονος γὰρ ἔτεκε ἡμίονον διξὰ ἔχουσαν αἰδοῖα, τὰ μὲν ἔρσενος τὰ δὲ θηλέης· κατύπερθε δὲ ἦν τὰ τοῦ ἔρσενος. τῶν ἀμφοτέρων λόγον οὐδένα ποιησάμενος τὸ πρόσω ἐπορεύετο, σὺν δέ οἱ ὁ πεζὸς στρατός.

(a) Ξέρξης … χρόνον (lines 1–2). Give **two** details about the crossing of the Hellespont. Quotation of the Greek text is **not** required. [2]

(b) ὦ Ζεῦ … ταῦτα (lines 3–5). What is causing the astonishment of the Hellespontian man? Give **four** details. Quotation of the Greek text is **not** required. [4]

(c) Give **two** words or expressions that show typical features of Herodotus's Ionic dialect and explain how each differs from classical Attic. [4]

(d) Translate εὐσύμβλητον ὦν … μεγαλοπρεπέστατα (lines 7–8). [3]

(e) Locate as precisely as possible the **two** places where the omens take place. [2]



https://xtremepape.rs/

**Genre: tragedy**

**Question 5. Euripides, *Hippolytus* 433–458**

ΤΡΟ. δέσποιν᾽, ἐμοί τοι συμφορὰ μὲν ἀρτίως
ἡ σὴ παρέσχε δεινὸν ἐξαίφνης φόβον·
νῦν δ᾽ ἐννοοῦμαι φαῦλος οὖσα, κἀν βροτοῖς
αἱ δεύτεραί πως φροντίδες σοφώτεραι.
οὐ γὰρ περισσὸν οὐδὲν οὐδ᾽ ἔξω λόγου
πέπονθας, ὀργαὶ δ᾽ ἐς σ᾽ ἀπέσκηψαν θεᾶς.
ἐρᾷς· τί τοῦτο θαῦμα; σὺν πολλοῖς βροτῶν.
κἄπειτ᾽ ἔρωτος οὕνεκα ψυχὴν ὀλεῖς;
οὔ τἄρα λύει τοῖς ἐρῶσι τῶν πέλας,
ὅσοι τε μέλλουσ᾽, εἰ θανεῖν αὐτοὺς χρεών.
Κύπρις γὰρ οὐ φορητὸν ἢν πολλὴ ῥυῇ,
ἣ τὸν μὲν εἴκονθ᾽ ἡσυχῇ μετέρχεται,
ὃν δ᾽ ἂν περισσὸν καὶ φρονοῦνθ᾽ εὕρῃ μέγα,
τοῦτον λαβοῦσα πῶς δοκεῖς καθύβρισεν.
φοιτᾷ δ᾽ ἀν᾽ αἰθέρ᾽, ἔστι δ᾽ ἐν θαλασσίῳ
κλύδωνι Κύπρις, πάντα δ᾽ ἐκ ταύτης ἔφυ·
ἥδ᾽ ἐστὶν ἡ σπείρουσα καὶ διδοῦσ᾽ ἔρον,
οὗ πάντες ἐσμὲν οἱ κατὰ χθόν᾽ ἔκγονοι.
ὅσοι μὲν οὖν γραφάς τε τῶν παλαιτέρων
ἔχουσιν αὐτοί τ᾽ εἰσὶν ἐν μούσαις ἀεὶ
ἴσασι μὲν Ζεὺς ὥς ποτ᾽ ἠράσθη γάμων
Σεμέλης, ἴσασι δ᾽ ὡς ἀνήρπασέν ποτε
ἡ καλλιφεγγὴς Κέφαλον ἐς θεοὺς Ἕως
ἔρωτος οὕνεκ᾽· ἀλλ᾽ ὅμως ἐν οὐρανῷ
ναίουσι κοὐ φεύγουσιν ἐκποδὼν θεούς,
στέργουσι δ᾽, οἶμαι, ξυμφορᾷ νικώμενοι.

(a) αἱ δεύτεραί πως φροντίδες σοφώτεραι (line 436). Explain what the nurse's second thoughts are, and whether or not they really are "wiser". Give **four** details. Quotation of the Greek text is **not** required. [4]

(b) Write out and scan ὃν δ᾽ ἂν … καθύβρισεν (lines 445–446). Indicate elisions where necessary. [2]

(c) Give **three** reasons why the nurse thinks Phaedra should not be so upset by her love for Hippolytus. Support your answer by quoting the Greek text. [3]

(d) Give **one** additional detail, **not** found in the text, for each of the objects of divine love mentioned in lines 454–455. [2]

(e) What kind of arguments does the nurse put forward to persuade Phaedra? Give **four** details. Quotation of the Greek text is **not** required. [4]

https://xtremepape.rs/

**Genre: tragedy**

**Question 6. Euripides, *Hippolytus* 482–502**

ΧΟ. Φαίδρα, λέγει μὲν ἥδε χρησιμώτερα
πρὸς τὴν παροῦσαν ξυμφοράν, αἰνῶ δὲ σέ.
ὁ δ᾽ αἶνος οὗτος δυσχερέστερος λόγων
τῶν τῆσδε καί σοι μᾶλλον ἀλγίων κλύειν.
ΦΑΙ. τοῦτ᾽ ἔσθ᾽ ὃ θνητῶν εὖ πόλεις οἰκουμένας
δόμους τ᾽ ἀπόλλυσ᾽, οἱ καλοὶ λίαν λόγοι.
οὐ γάρ τι τοῖσιν ὠσὶ τερπνὰ χρὴ λέγειν,
ἀλλ᾽ ἐξ ὅτου τις εὐκλεὴς γενήσεται.
ΤΡΟ. τί σεμνομυθεῖς; οὐ λόγων εὐσχημόνων
δεῖ σ᾽, ἀλλὰ τἀνδρός. ὡς τάχος διιστέον,
τὸν εὐθὺν ἐξειπόντας ἀμφὶ σοῦ λόγον.
εἰ μὲν γὰρ ἦν σοι μὴ ‘πὶ συμφοραῖς βίος
τοιαῖσδε, σώφρων δ᾽ οὖσ᾽ ἐτύγχανες γυνή,
οὐκ ἄν ποτ᾽ εὐνῆς οὕνεχ᾽ ἡδονῆς τε σῆς
προῆγον ἄν σε δεῦρο· νῦν δ᾽ ἀγὼν μέγας
σῶσαι βίον σόν, κοὐκ ἐπίφθονον τόδε.
ΦΑΙ. ὦ δεινὰ λέξασ᾽, οὐχὶ συγκλῄσεις στόμα
καὶ μὴ μεθήσεις αὖθις αἰσχίστους λόγους;
ΤΡΟ. αἴσχρ᾽, ἀλλ᾽ ἀμείνω τῶν καλῶν τάδ᾽ ἐστί σοι·
κρεῖσσον δὲ τοὔργον, εἴπερ ἐκσώσει γέ σε,
ἢ τοὔνομ᾽, ᾧ σὺ κατθανῇ γαυρουμένη.

(a) λέγει μὲν ἥδε … αἰνῶ δὲ σέ (lines 482–483). Explain what the Chorus is referring to. Give **four** details. Quotation of the Greek text is **not** required. [4]

(b) οἱ καλοὶ λίαν λόγοι … λόγων εὐσχημόνων (lines 487–490). Contrast the use of adjectives by Phaedra and the nurse to describe “λόγοι”. Give **four** details, referring to the whole extract. Quotation of the Greek text is **not** required. [4]

(c) εἰ μὲν … δεῦρο (lines 493–496). Present **two** circumstances under which the nurse would **not** have to recommend this course of action to Phaedra. [2]

(d) Translate αἴσχρ᾽… γαυρουμένη (lines 500–502). [3]

(e) τοὔργον … τοὔνομ᾽ (lines 501–502). To what do these **two** words refer? [2]



https://xtremepape.rs/

**Genre: comedy**

**Question 7. Aristophanes, *Clouds* 1088–1114**

ΑΔ. φέρε δή μοι φράσον·
συνηγοροῦσιν ἐκ τίνων;
ΔΙΚ. ἐξ εὐρυπρώκτων.
ΑΔ. πείθομαι.
τί δαί; τραγῳδοῦσ᾽ ἐκ τίνων;
ΔΙΚ. ἐξ εὐρυπρώκτων.
ΑΔ. εὖ λέγεις.
δημηγοροῦσι δ᾽ ἐκ τίνων;
ΔΙΚ. ἐξ εὐρυπρώκτων.
ΑΔ. ἆρα δῆτ᾽
ἔγνωκας ὡς οὐδὲν λέγεις;
καὶ τῶν θεατῶν ὁπότεροι
πλείους σκόπει.
ΔΙΚ. καὶ δὴ σκοπῶ.
ΑΔ. τί δῆθ᾽ ὁρᾷς;
ΔΙΚ. πολὺ πλείονας νὴ τοὺς θεοὺς
τοὺς εὐρυπρώκτους· τουτονὶ
γοῦν οἶδ᾽ ἐγὼ κἀκεινονὶ
καὶ τὸν κομήτην τουτονί.
ΑΔ. τί δῆτ᾽ ἐρεῖς;
ΔΙΚ. ἡττήμεθ᾽· ὦ κινούμενοι
πρὸς τῶν θεῶν δέξασθέ μου
θοἰμάτιον, ὡς
ἐξαυτομολῶ πρὸς ὑμᾶς.
ΣΩ. τί δῆτα; πότερα τοῦτον ἀπάγεσθαι λαβὼν
βούλει τὸν υἱόν, ἢ διδάσκω σοι λέγειν;
ΣΤΡ. δίδασκε καὶ κόλαζε καὶ μέμνησ᾽ ὅπως
εὖ μοι στομώσεις αὐτόν, ἐπὶ μὲν θάτερα
οἷον δικιδίοις, τὴν δ᾽ ἑτέραν αὐτοῦ γνάθον
στόμωσον οἵαν ἐς τὰ μείζω πράγματα.
ΣΩ. ἀμέλει κομιεῖ τοῦτον σοφιστὴν δεξιόν.
ΦΕΙ. ὠχρὸν μὲν οὖν οἶμαί γε καὶ κακοδαίμονα.
ΧΟ. χωρεῖτέ νυν. οἶμαι δέ σοι
ταῦτα μεταμελήσειν.

(a) Set the scene in its context. Who is speaking? Why? What are they arguing about? [3]

(b) What **three** categories of persons are insulted in lines 1088–1094? Give the relevant Greek words together with the English translation. [3]

(c) τουτονὶ … τουτονί (lines 1099–1101). Explain how Aristophanes’s language produces a comic effect in these lines. Support your answer by quoting the Greek text. [4]

**(This question continues on the following page)**

https://xtremepape.rs/

**(Question 7 continued)**

(d) Write out and scan δίδασκε … θάτερα (lines 1107–1108). Indicate elisions where necessary. [2]

(e) Translate ἀμέλει … μεταμελήσειν (lines 1111–1114). [3]

**(Comedy continues on the following page)**



https://xtremepape.rs/

**Genre: comedy**

**Question 8. Aristophanes, *Clouds* 1–24**

ΣΤΡ. ἰοὺ ἰού·
ὦ Ζεῦ βασιλεῦ τὸ χρῆμα τῶν νυκτῶν ὅσον·
ἀπέραντον. οὐδέποθ᾽ ἡμέρα γενήσεται;
καὶ μὴν πάλαι γ᾽ ἀλεκτρυόνος ἤκουσ᾽ ἐγώ·
οἱ δ᾽ οἰκέται ῥέγκουσιν· ἀλλ᾽ οὐκ ἂν πρὸ τοῦ.
ἀπόλοιο δῆτ᾽ ὦ πόλεμε πολλῶν οὕνεκα,
ὅτ᾽ οὐδὲ κολάσ᾽ ἔξεστί μοι τοὺς οἰκέτας.
ἀλλ᾽ οὐδ᾽ ὁ χρηστὸς οὑτοσὶ νεανίας
ἐγείρεται τῆς νυκτός, ἀλλὰ πέρδεται
ἐν πέντε σισύραις ἐγκεκορδυλημένος.
ἀλλ᾽ εἰ δοκεῖ ῥέγκωμεν ἐγκεκαλυμμένοι.
ἀλλ᾽ οὐ δύναμαι δείλαιος εὕδειν δακνόμενος
ὑπὸ τῆς δαπάνης καὶ τῆς φάτνης καὶ τῶν χρεῶν
διὰ τουτονὶ τὸν υἱόν. ὁ δὲ κόμην ἔχων
ἱππάζεταί τε καὶ ξυνωρικεύεται
ὀνειροπολεῖ θ᾽ ἵππους· ἐγὼ δ᾽ ἀπόλλυμαι
ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας·
οἱ γὰρ τόκοι χωροῦσιν. ἅπτε παῖ λύχνον,
κἄκφερε τὸ γραμματεῖον, ἵν᾽ ἀναγνῶ λαβὼν
ὁπόσοις ὀφείλω καὶ λογίσωμαι τοὺς τόκους.
φέρ᾽ ἴδω τί ὀφείλω; δώδεκα μνᾶς Πασίᾳ.
τοῦ δώδεκα μνᾶς Πασίᾳ; τί ἐχρησάμην;
ὅτ᾽ ἐπριάμην τὸν κοππατίαν. οἴμοι τάλας,
εἴθ᾽ ἐξεκόπην πρότερον τὸν ὀφθαλμὸν λίθῳ.

(a) Outline **four** reasons why Strepsiades is in a bad mood. Support your answer by quoting the Greek text. [4]

(b) Outline **three** ways in which the historical context of the play is reflected in this extract. [3]

(c) Explain the expression ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας (line 17). Why does this worry Sprepsiades? [2]

(d) Translate οἱ γὰρ τόκοι … τοὺς τόκους (lines 18–20). [3]

(e) Explain the wordplay in the last **two** lines of the extract. [3]

https://xtremepape.rs/

Blank page



https://xtremepape.rs/

**Genre: philosophy**

**Question 9. Plato, *Apology* 20d–21a**

ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δι᾿ οὐδὲν ἀλλ᾿ ἢ διὰ σοφίαν τινὰ τοῦτο τὸ ὄνομα ἔσχηκα. ποίαν δὴ σοφίαν ταύτην; ἥπερ ἐστὶν ἴσως ἀνθρωπίνη σοφία· τῷ ὄντι γὰρ κινδυνεύω ταύτην εἶναι σοφός. οὗτοι δὲ τάχ᾿ ἄν, οὓς ἄρτι ἔλεγον, μείζω τινὰ ἢ κατ᾿ ἄνθρωπον σοφίαν σοφοὶ εἶεν, ἢ οὐκ ἔχω τί λέγω· οὐ γὰρ δὴ ἔγωγε αὐτὴν ἐπίσταμαι, ἀλλ᾿ ὅστις φησὶ ψεύδεταί τε καὶ ἐπὶ διαβολῇ τῇ ἐμῇ λέγει. καί μοι, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θορυβήσητε, μηδ᾿ ἐὰν δόξω τι ὑμῖν μέγα λέγειν· οὐ γὰρ ἐμὸν ἐρῶ τὸν λόγον ὃν ἂν λέγω, ἀλλ᾿ εἰς ἀξιόχρεων ὑμῖν τὸν λέγοντα ἀνοίσω. τῆς γὰρ ἐμῆς, εἰ δή τίς ἐστιν σοφία καὶ οἵα, μάρτυρα ὑμῖν παρέξομαι τὸν θεὸν τὸν ἐν Δελφοῖς. Χαιρεφῶντα γὰρ ἴστε που. οὗτος ἐμός τε ἑταῖρος ἦν ἐκ νέου καὶ ὑμῶν τῷ πλήθει ἑταῖρός τε καὶ συνέφυγε τὴν φυγὴν ταύτην καὶ μεθ᾿ ὑμῶν κατῆλθε. καὶ ἴστε δὴ οἷος ἦν Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ᾿ ὅτι ὁρμήσειεν. καὶ δή ποτε καὶ εἰς Δελφοὺς ἐλθὼν ἐτόλμησε τοῦτο μαντεύσασθαι—καί, ὅπερ λέγω, μὴ θορυβεῖτε, ὦ ἄνδρες—ἤρετο γὰρ δὴ εἴ τις ἐμοῦ εἴη σοφώτερος. ἀνεῖλεν οὖν ἡ Πυθία μηδένα σοφώτερον εἶναι.

(a) Translate ἐγὼ … σοφία (lines 1–2). [3]

(b) καί μοι … Δελφοῖς (line 5–7). What does Socrates ask the Athenian people to do and why? [3]

(c) Choose **three** examples to illustrate Plato's literary style. Support your answer by quoting the Greek text. [3]

(d) Describe the kind of wisdom (σοφία) Socrates is referring to as his own. [3]

(e) Explain how Socrates uses Chaerephon to downplay his own role in the consultation of the oracle. [3]

https://xtremepape.rs/

**Genre: philosophy**

**Question 10. Plato, *Apology* 38c–39a**

οὐ πολλοῦ γ᾽ ἕνεκα χρόνου, ὦ ἄνδρες Ἀθηναῖοι, ὄνομα ἕξετε καὶ αἰτίαν ὑπὸ τῶν βουλομένων τὴν πόλιν λοιδορεῖν ὡς Σωκράτη ἀπεκτόνατε, ἄνδρα σοφόν—φήσουσι γὰρ δὴ σοφὸν εἶναι, εἰ καὶ μή εἰμι, οἱ βουλόμενοι ὑμῖν ὀνειδίζειν— εἰ γοῦν περιεμείνατε ὀλίγον χρόνον, ἀπὸ τοῦ αὐτομάτου ἂν ὑμῖν τοῦτο ἐγένετο· ὁρᾶτε γὰρ δὴ τὴν ἡλικίαν ὅτι πόρρω ἤδη ἐστὶ τοῦ βίου θανάτου δὲ ἐγγύς. λέγω δὲ τοῦτο οὐ πρὸς πάντας ὑμᾶς, ἀλλὰ πρὸς τοὺς ἐμοῦ καταψηφισαμένους θάνατον. λέγω δὲ καὶ τόδε πρὸς τοὺς αὐτοὺς τούτους. ἴσως με οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀπορίᾳ λόγων ἑαλωκέναι τοιούτων οἷς ἂν ὑμᾶς ἔπεισα, εἰ ᾤμην δεῖν ἅπαντα ποιεῖν καὶ λέγειν ὥστε ἀποφυγεῖν τὴν δίκην. πολλοῦ γε δεῖ. ἀλλ᾽ ἀπορίᾳ μὲν ἑάλωκα, οὐ μέντοι λόγων, ἀλλὰ τόλμης καὶ ἀναισχυντίας καὶ τοῦ μὴ ἐθέλειν λέγειν πρὸς ὑμᾶς τοιαῦτα οἷ᾽ ἂν ὑμῖν μὲν ἥδιστα ἦν ἀκούειν— θρηνοῦντός τέ μου καὶ ὀδυρομένου καὶ ἄλλα ποιοῦντος καὶ λέγοντος πολλὰ καὶ ἀνάξια ἐμοῦ, ὡς ἐγώ φημι, οἷα δὴ καὶ εἴθισθε ὑμεῖς τῶν ἄλλων ἀκούειν. ἀλλ᾽ οὔτε τότε ᾠήθην δεῖν ἕνεκα τοῦ κινδύνου πρᾶξαι οὐδὲν ἀνελεύθερον, οὔτε νῦν μοι μεταμέλει οὕτως ἀπολογησαμένῳ.

(a) οὐ πολλοῦ … ὀνειδίζειν (lines 1–3). For what reasons is Socrates rebuking the Athenians? Give **four** details quoting the Greek text. [4]

(b) εἰ γοῦν … ἐγένετο (lines 3–4). Explain Socrates's remark. [3]

(c) Translate ἴσως με οἴεσθε … τὴν δίκην (lines 6–8). [3]

(d) Outline Socrates's use of the term ἀπορία in this extract. [2]

(e) Outline **three** strategies the Athenians would have preferred Socrates to use in his defence. Support your answer by quoting the Greek text. [3]

https://xtremepape.rs/